θέμενος, ναβαταίους καλεῖ καὶ περσῶν ἀφ᾽ αὐτοῦ ὀνομάζει· ἔσχε δ᾽ υἱόν, ἀχε-
μενίδα πατρός· ἀχαιμενίδας οἱ πέρσαι ἐκλήθησαν. οἱ δὲ χάβαι, οἱ ὅριον τοῦ
ὑπὲρ τοῦ ἰσθμοῦ. ὑπὸ δὲ τῆς ἐρυθρᾶς θαλάσσης τὸ λυπρὸν κατοικοῦ-
σιν οἵ τε μινναῖοι καὶ σάβαι. καὶ οἱ ἀγχίγυοι ὅ ἐστιν οἱ ἀροτῆρες κλετα-
βηνοί. τοσαῦτα μὲν περὶ τὴν ἀρραβίαν ἐξαίσια καὶ πλεῖστα κατοικοῦ-
σιν ἔθνη. καὶ ἄλλα πολλὰ παρὰ πάνυ καὶ γὰρ ἐστὶ μεγίστη ἢ μᾶλλον ὅτι τῆς
τὸ πλεῖστον. ἀντὶ τοῦ ἐμπορευομένη γῆ οὕτως σφόδρα καὶ πάνυ ἐ-
στὶ τὰ ἐμπορεύματα μεγίστη

Ἠδὲ πρὸς ἀντιπέραιαν ὑπὲρ ῥίπην ζεφύροιο
λυπρὸν ὀρεσκώων παραφαίνεται οὖδας ἐρεμβῶν·
οἳ βίον ἐν πέτρῃσι κατώρυχες ἐξετέλεσσαν
γυμνοὶ καὶ κτεάνων ἐπιδευέες ἀμφὶ δ᾽ ἄρα σφιν
ἶσα καταιθομένοισι μελαίνεται αὐαλέος χρώς
αὔτως δ᾽ οἷά τε θῆρες ἀλώμενοι ἀλλά γ᾽ ἔχουσιν
οὐχ ὡς ἀβροβίων ἀράβων κλέος ἢ γὰρ ἐν ὄλβῳ
μοῖραν ἴσην ἅπασιν ἐπαυδέσσε θεὸς καὶ ὁ δαίμων

Πρὸς ἀντιπέραν δὲ αὐτῆς ὑπὲρ τὴν ῥιπὴν ἤγουν τὴν πνοὴν τοῦ ζεφύρου
οἵ φασιν καὶ οἱ σαρρακηνοὶ λέγονται ἀναιδῶν τῶν ὄρεσι διαιτωμένων
ἐρεμβῶν τὸ λυπρὸν οὖδας ἀντὶ τοῦ ἡ λυπηρὰ καὶ ἀνιαρὰ καὶ σχέτλια
γῆ φαίνεται· ἐρεμβοὺς δὲ λέγει τοὺς τρωγλοδύτας ἄραβας οἵτινες
τὸν βίον ἐν ταῖς πέτραις αὐτῶν ζῶσι κατώρυχες ἐπιτέλεσαν ἤτοι ταῖς πέτραις
σαν οἱ ὄντες τοῦ πλοῦτοι ἐτελοῦντο. γυμνοὶ καὶ κτημάτων ἐν-
δεεῖς ὄντες. καταιθομένοις δὲ τῷ ἱδρῶτι, τὸ καὶ ξηρὸν αὐτῶν σῶ-
μα μελαίνεται. ματαίως δὲ οὕτως καθάπερ θῆρες πλανώμενοι. ἀλ-
λ᾽ ἔχουσιν οὐχ ὡς τῶν ἀβροβίων ἀράβων τὸ κλέος. οὐδὲ γὰρ ἐστὶ
πᾶσιν αὐτοῖς ὁ δαίμων τὴν ἴσην συνδιώσαμεν ἐπὶ τῷ ὄλβῳ